Ακαδημία Αθηνών / Academy of Athens

**κόσμιον (ἐστί).** (Εἶναι) κόσμιο/(εἶναι) εὐπρεπές, (it is) well ordered/(it is) seemly, Δημόκριτος 47 *νόμῳ καὶ ἄρχοντι καὶ τῷ σοφωτέρῳ εἴκειν κ ό σ μ ι ο ν.*

**Κοσμογραφίη.** Περιγραφὴ τοῦ κόσμου, cosmography, Δημόκριτος 5a (τίτλ.) *Κ ο σ μ ο γ ρ α φ ί η.* Πρβλ. *κόσμος.*

**κόσμος 1.** Κόσμος/σύμπαν, world/universe, Ἀναξιμένης 2 *οἷον ἡ ψυχὴ ... ἡ ἡμετέρα ἀὴρ οὖσα συγκρατεῖ ἡμᾶς, καὶ ὅλον τὸν κ ό σ μ ο ν πνεῦμα καὶ ἀὴρ περιέχει* Πυθαγόρας Α 21 (DK I 105,25) Πυθαγόρας πρῶτος ὠνόμασε τὴν τῶν ὅλων περιοχὴν *κ ό σ μ ο ν* ἐκ τῆς ἐν αὐτῷ τάξεως Ἡράκλειτος 30 *κ ό σ μ ο ν τόνδε, τὸν αὐτὸν ἁπάντων, οὔτε τις θεῶν οὔτε ἀνθρώπων ἐποίησεν* Ἐμπεδοκλῆς 134.5 *ἀλλὰ φρὴν ἱερὴ καὶ ἀθέσφατος ἔπλετο μοῦνον, φροντίσι κ ό σ μ ο ν ἅπαντα καταΐσσουσα θοῇσιν* Φιλόλαος 1 *ἁ φύσις δ' ἐν τῷ κ ό σ μ ῳ ἁρμόχθη ἐξ ἀπείρων τε καὶ περαινόντων, καὶ ὅλος ⟨ὁ⟩ κ ό σ μ ο ς καὶ τὰ ἐν αὐτῷ πάντα* 2.6 *ἐκ περαινόντων τε καὶ ἀπείρων ὅ τε κ ό σ μ ο ς καὶ τὰ ἐν αὐτῷ συναρμόχθη* 6.6-13 *οὐχ οἷον τ' ἦν οὐθὲν τῶν ἐόντων καὶ γιγνωσκόμενον ὑφ' ἁμῶν γα γενέσθαι μὴ ὑπαρχούσας τᾶς ἐστοῦς τῶν πραγμάτων, ἐξ ὧν συνέστα ὁ κ ό σ μ ο ς, καὶ τῶν περαινόντων καὶ τῶν ἀπείρων ... τὰ μὲν ὧν ὁμοῖα καὶ ὁμόφυλα ἁρμονίας οὐδὲν ἐπεδέοντο, τὰ δὲ ἀνόμοια μηδὲ ὁμόφυλα μηδὲ ἰσοταγῆ ἀνάγκα τᾷ τοιαύτᾳ ἁρμονίᾳ συγκεκλεῖσθαι, οἵᾳ μέλλοντι ἐν κ ό σ μ ῳ κατέχεσθαι* Ἀναξαγόρας 8 *οὐ κεχώρισται ἀλλήλων τὰ ἐν τῷ ἑνὶ κ ό σ μ ῳ οὐδὲ ἀποκέκοπται πελέκει* Διογένης 2.3-5 *εἰ γὰρ τὰ ἐν τῷδε τῷ κ ό σ μ ῳ ἐόντα νῦν, γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ καὶ τὰ ἄλλα ὅσα φαίνεται ἐν τῷδε τῷ κ ό σ μ ῳ ἐόντα* Δημόκριτος 5c (τίτλ.) *Περὶ φύσεως Α ⟨ἢ Περὶ κ ό σ μ ο υ φύσιος⟩* Δημόκριτος 247 *ἀνδρὶ σοφῷ πᾶσα γῆ βατή· ψυχῆς γὰρ ἀγαθῆς πατρὶς ὁ ξύμπας κ ό σ μ ο ς.* ||**(μικρός) κόσμος.** Μικρόκοσμος, microcosm, Δημόκριτος 34 *ἐν τῷ ἀνθρώπῳ μ ι κ ρ ῷ κ ό σ μ ῳ ὄντι ... καὶ τὸ ζῷον οἷον μ ι κ ρ ό ν τινα κ ό σ μ ο ν* εἶναί φασιν ἄνδρες παλαιοὶ περὶ φύσιν ἱκανοὶ **2.** Ἁρμονικὴ διάταξη, harmonious arrangement, Ἡράκλειτος 124 *ὥσπερ σάρμα εἰκῆ κεχυμένων ὁ κάλλιστος ... κ ό σ μ ο ς* Παρμενίδης 4.3 *οὐ γὰρ ἀποτμήξει τὸ ἐὸν τοῦ ἐόντος ἔχεσθαι οὔτε σκιδνάμενον πάντῃ πάντως κατὰ κ ό σ μ ο ν οὔτε συνιστάμενον* Μέλισσος 7(3)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ